ὁ δὲ [illegible] λήμματος:

ἀπὸ τῆς β̄. ἴσον τὸ ὑπὸ τῶν γ̄δ̄. ὡς ἄρα ἡ ᾱ πρὸς τὴν β̄, οὕτως τὸ ἀπὸ τῆς ᾱ πρὸς τὸ ὑπὸ τῶν γ̄δ̄. ὡς δὲ τὸ ἀπὸ τῆς ᾱ πρὸς τὸ ὑπὸ τῶν γ̄δ̄, οὕτως ἡ γ̄ πρὸς τὴν δ̄. καὶ ὡς ἄρα ἡ ᾱ πρὸς τὴν β̄, οὕτως ἡ γ̄ πρὸς τὴν δ̄. σύμμετρος δὲ ἡ ᾱ τῇ β̄ δυνάμει μόνον. σύμμετρος ἄρα καὶ ἡ γ̄ τῇ δ̄ δυνάμει μόνον· καί ἐστι μέση ἡ γ̄. μέση ἄρα καὶ ἡ δ̄. καὶ ἐπεί ἐστιν ὡς ἡ ᾱ πρὸς τὴν β̄ ἡ γ̄ πρὸς τὴν δ̄. ἡ δὲ ᾱ τῆς β̄ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ ἡ γ̄ ἄρα τῆς δ̄ μεῖζον δυνήσεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. εὕρηνται δύο μέσαι δυνάμει μόνον σύμμετροι αἱ γ̄δ̄ ῥητὸν περιέχουσαι. καὶ ἡ γ̄ τῆς δ̄ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει. ὁμοίως δὴ δειχθήσεται καὶ τῷ ἀπὸ ἀσυμμέτρου ὅταν ἡ ᾱ τῆς β̄ μεῖζον δυνήσεται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ:-

ὁ δὲ [illegible] κατὰ:



λε

Εὑρεῖν δύο μέσας δυνάμει μόνον συμμέτρους μέσον περιεχούσας. ὥστε τὴν μείζονα τῆς ἐλάσσονος μεῖζον δύνασθαι τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. ἐκκείσθωσαν τρεῖς ῥηταὶ δυνάμει μόνον σύμμετροι αἱ ᾱβ̄γ̄. ὥστε τὴν ᾱ τῆς γ̄ μεῖζον δύνασθαι τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ τῷ μὲν ὑπὸ τῶν ᾱβ̄ ἴσον ἔστω τὸ ἀπὸ τῆς δ̄. μέσον ἄρα τὸ ἀπὸ τῆς δ̄. καὶ ἡ δ̄ ἄρα μέση ἐστί. τῷ δὲ ὑπὸ τῶν β̄γ̄ ἴσον ἔστω τὸ ὑπὸ τῶν δ̄ε̄. καὶ ἐπεί ἐστιν ὡς τὸ ὑπὸ τῶν ᾱβ̄ πρὸς τὸ ὑπὸ τῶν β̄γ̄, οὕτως ἡ ᾱ πρὸς τὴν γ̄. ἀλλὰ τῷ μὲν ὑπὸ τῶν ᾱβ̄ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς δ̄. τῷ δὲ ὑπὸ τῶν β̄γ̄ ἴσον τὸ ὑπὸ τῶν δ̄ε̄. ἔστιν ἄρα ὡς ἡ ᾱ πρὸς τὴν γ̄, οὕτως τὸ ἀπὸ τῆς δ̄ πρὸς τὸ ὑπὸ τῶν δ̄ε̄. ὡς δὲ τὸ ἀπὸ τῆς δ̄ πρὸς τὸ ὑπὸ τῶν δ̄ε̄, οὕτως ἡ δ̄ πρὸς τὴν ε̄. καὶ ὡς ἄρα ἡ ᾱ πρὸς τὴν γ̄, οὕτως ἡ δ̄ πρὸς τὴν ε̄. σύμμετρος δὲ ἡ ᾱ τῇ γ̄ δυνάμει μόνον. σύμμετρος ἄρα καὶ ἡ δ̄ τῇ ε̄ δυνάμει μόνον. μέση δὲ ἡ δ̄. μέση ἄρα καὶ ἡ ε̄. καὶ ἐπεί ἐστιν ὡς ἡ ᾱ πρὸς τὴν γ̄ ἡ δ̄ πρὸς τὴν ε̄. ἡ δὲ ᾱ τῆς γ̄ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ ἡ δ̄ ἄρα τῆς ε̄ μεῖζον δυνήσεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. λέγω δὴ ὅτι καὶ μέσον ἐστὶ τὸ ὑπὸ τῶν δ̄ε̄. ἐπεὶ γὰρ ἴσον ἐστὶ τὸ ὑπὸ τῶν β̄γ̄ τῷ ὑπὸ τῶν δ̄ε̄. μέσον δὲ τὸ ὑπὸ τῶν β̄γ̄, μέσον ἄρα τὸ ὑπὸ τῶν δ̄ε̄. εὕρηνται ἄρα δύο μέσαι δυνάμει μόνον σύμμετροι αἱ δ̄ε̄ μέσον περιέχουσαι. ὥστε τὴν μείζονα τῆς ἐλάσσονος μεῖζον δύνασθαι τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. ὁμοίως δὴ πάλιν δειχθήσεται καὶ τῷ ἀπὸ συμμέτρου. ὅταν ἡ ᾱ τῆς γ̄ μεῖζον δύνηται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ:-



BIBLIOTHECA BODLEIANA

+ λῆμμα:-

Ἔστω τρίγωνον ὀρθογώνιον τὸ ᾱβ̄γ̄. ὀρθὴν ἔχον τὴν

[illegible]

./. λ̄ κατὰ